μακρῷ δήπου ῥᾷόν ἐστι φιλοπλουτίαν κολοῦσαι καὶ φιλοδοξίαν ἀποχαῖς ὧν ἐφίενται καὶ ἀνείρξεσιν εἰς τέλος καταλυθείσας· ἢ οὐ δοκεῖ σοι;' ὡμολόγησεν ὁ ξένος. 'ἆρ' οὖν' ἔφη 'διαφορὰν ὁρᾷς ἀσκήσεως καὶ τοῦ πρὸς ὃ ἡ ἄσκησις ἔργου, καὶ καθάπερ ἀθλητικῆς ἔργον μὲν ἂν εἴποις τὴν ὑπὲρ τοῦ στεφάνου πρὸς τὸν ἀντίπαλον ἅμιλλαν, ἄσκησιν δὲ τὴν ἐπὶ τοῦτο διὰ τῶν γυμνασίων παρασκευὴν τοῦ σώματος, οὕτω καὶ ἀρετῆς ὁμολογεῖς τὸ μὲν ἔργον εἶναι τὸ δ' ἄσκησιν;' ὁμολογήσαντος δὲ τοῦ ξένου 'φέρε τοίνυν πρῶτον ἐπὶ τῆς ἐγκρατείας τὸ τῶν αἰσχρῶν καὶ παρανόμων
585 ἡδονῶν ἀπέχεσθαι πότερον ἄσκησιν | ἢ μᾶλλον ἔργον καὶ ἀπόδειξιν ἀσκήσεως εἶναι νομίζεις;' 'ἔργον' εἶπεν 'ἐγὼ καὶ ἀπόδειξιν.' 'ἄσκησιν δὲ καὶ μελέτην [μετὰ] ἐγκρατείας οὐχ ἥπερ ἔτι νῦν ἐφείλκυσθε πάντες ὑμεῖς, ὅταν γυμνασάμενοι καὶ κινήσαντες ὥσπερ ζῷα τὰς ὀρέξεις ἐπιστῆτε λαμπραῖς τραπέζαις καὶ ποικίλοις ἐδέσμασι πολὺν χρόνον, εἶτα ταῦτα τοῖς οἰκέταις ὑμῶν εὐωχεῖσθαι παραδόντες αὐτοὶ τὰ λιτὰ καὶ ἁπλᾶ προσφέρησθε κεκολασμέναις ἤδη ταῖς ἐπιθυμίαις; ἡ γὰρ ἐν οἷς ἔξεστιν ἀποχὴ τῶν ἡδονῶν ἄσκησίς ἐστι τῇ ψυχῇ πρὸς ἃ κεκώλυται.' 'πάνυ μὲν οὖν' εἶπεν. 'ἔστιν οὖν τις, ὦ φίλε, καὶ δικαιοσύνη
B πρὸς φιλοπλουτίαν καὶ φιλαργυρίαν ἄσκησις, οὐ τὸ μὴ κλέπτειν ἐπιόντα νύκτωρ τὰ τῶν πέλας μηδὲ λωποδυτεῖν, οὐδ' εἰ μὴ προδίδωσί τις πατρίδα καὶ φίλους δι' ἀργύριον, οὗτος ἀσκεῖ πρὸς φιλαργυρίαν (καὶ γὰρ ὁ νόμος ἴσως ἐνταῦθα καὶ ὁ φόβος ἀπείργει τὴν πλεονεξίαν τοῦ ἀδικεῖν), ἀλλ' ὁ τῶν δικαίων καὶ συγκεχωρημένων ὑπὸ τοῦ νόμου κερδῶν πολλάκις ἀφιστὰς ἑαυτὸν ἑκουσίως ἀσκεῖ καὶ προσεθίζεται μακρὰν εἶναι παντὸς ἀδίκου καὶ παρανόμου λήμ-